## Θέσπισμα συνοδικόν, ἐκδοθὲν ἐν Ἀδριανουπόλει, ἔτει ͵αχϟδ΄, ἱσταμένης ἰνδικτιῶνος β΄.[1])

Ὥςπερ ἀγκύραις αἱ νῆες σαλεύουσι καὶ ὁρμοῦσι, τὴν ἐκ τῶν κινδύνων ἀσφάλειαν εὑρισκόμεναι, καὶ σώζονται ἄρα, εἴ ποτε χειμὼν ἀδοκήτοις ἐπίοι, οὕτω τοι νόμοις καὶ θεσμοῖς τὰ ἐν ἀνθρώποις ὑφίςαται πολιτεύματα καὶ οἷον ἀρραγέσι καὶ ἀραρόσι θεμελίοις ἐποικοδομεῖται καὶ διαγίγνεται, εἴτε ἱερὰ εἶεν, εἴτε ἀόριστα. Καὶ διὰ ταῦτα τῶν ἐξ ὕψους ἡμῖν κεχορηγημένων ἀγαθῶν χρῆμα τὸ μέγιστον οἱ νόμοι· καὶ ἐκ τούτων ἀπορρεῖ τοῖς φῦσιν ἡ δικαιοσύνη, ἡ τῶν καλῶν χορηγός. Καὶ γὰρ καὶ δίκαι καὶ εὐθῦναι καὶ τιμωρίαι καὶ βάσανοι, καὶ ὁπόσα κατὰ πρώτην ἐπιβολὴν χείριστα δοκεῖ τοῖς πολλοῖς, καὶ ταῦτα τοῖς ἀπὸ δικαιοσύνης ἀγαθοῖς ἐγκαταλεγέσθω. Ταῖς γὰρ πόλεσι καὶ τοῖς δήμοις ἡ σωτηρία οὐχ ἧττων προςγίνεται, ὁπηνίκα τοῖς ἀγαθοποιοῖς, τοῖς ὑπὲρ τῶν κοινῶν προϊσταμένοις καὶ ἀγωνιζομένοις, ἀφθόνως ἀποδίδονται ἔπαινοι καὶ ἐγκώμια, ἔπαθλά τε καὶ βραβεῖα, καὶ εἰ δεήσοι καὶ τρόπαια καὶ νικητήρια, καὶ τὰ τούτων ἔτι μείζω κενοτάφια καὶ ἁψῖδες, ἤπερ ἡνίκα τοῖς φαύλοις καὶ παλαμναίοις, τοῖς λυμαινομένοις τὰ κοινά, αἰκίαι τε ἐπιτρίβονται καὶ πληγαὶ καὶ δεσμὰ περὶ τὸ σῶμα καὶ ἐξορίαι καὶ θάνατοι. Καὶ τί ταῦτα διαριθμούμεθα; Τὰ πολλῷ τούτων δεινότερα καὶ χαλεπώτερα τοῖς γε εὖ φρονοῦσι, μομφαὶ καὶ ψόγοι καὶ δυσφημίαι, αἱ μὴ συναποθνήσκουσαι, ἀλλ' εἰς ἅπαντα τὸν αἰῶνα μετ' αἰσχύνης ἀνεξιτήλου παραπέμπουσαι τὰ ὀνόματα καὶ τὰς μνήμας τῶν λυμεώνων, καὶ τούτων ἁπάντων παροχεῖς εἰσιν οἱ νόμοι, ὧν τοὺς μὲν ἡμᾶς ἡ φύσις ἐδίδαξεν, οὓς δὲ καὶ αἱ κατὰ καιροὺς ἐπιοῦσαι τοῖς πολιτεύμασιν ἀνάγκαι καὶ θλίψεις ὑπαγορεύουσιν, οἵους ἐκτιθέναι νῦν ἠνάγκασε τὴν καθ' ἡμᾶς ἱερὰν σύνοδον ἡ τοῦ κατὰ παραχώρησιν Θεοῦ πεντάκις τοὺς οἴακας τῆς ἀποστολικῆς ὁλκάδος ἁρπάσαντος καὶ πεντάκις ἐλθοῦσα παρ' ὀλίγον αὐτὴν καταδῦσαι ἐπίβασις τοῦ πατριάρχου Διονυσίου.

---

[1]) Ἴδε Ἐπιστολὴν 71 καὶ τὴν ἐν τέλει σημείωσιν.

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ... ΔΙΕΥΘΥΝΤΗΣ ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Ἀλλὰ τούτου ἡ βαρύτης καὶ ἡ κακοήθεια, καὶ ὅπως ἀνηκέστοις συμφοραῖς καὶ ἐπηρείαις τό τε κοινὸν ἐτρυχώθη παρ' αὐτοῦ καὶ τὸ ἐπὶ μέρους ἄρδην ἀνέστραπται, ὥςτε τὴν αὐτοῦ τυραννίδα μὴ δυναμένους ἐνεγκεῖν οὐκ ὀλίγους ἄνδρας ἐκ τοῦ ἀρχιερατικοῦ καταλόγου λίαν ἀξιολόγους, ἀφέντας καὶ παραιτησαμένους τὰς ἰδίας ἐπαρχίας, ἃς εἰλήχασι νομίμως καὶ κανονικῶς, εἰς ἀλλοδαπὰς ἀπιέναι, φυγὴν αὐθαίρετον ἐπανελομένους, ἐν ἄλλοις ἐστηλίτευται, τὸ δὲ δὴ μέγιστον καὶ μνήμη μηδέποτε ληξούση παρατέθειται εἰς αἰῶνα, ὑπὲρ ὧν ἐρραδιουργήσατο βλασφημούμενος.

Ἐπειδὴ δέ, τῇ ἐξ ὕψους εὐμενείᾳ, μετὰ τὴν ἑξάμηνον ἐπεμβάτευσιν, ἐκκλησιαστικῇ πάσῃ ψήφῳ ἐξέωσται καὶ ὁ κινηθεὶς ὑπ' αὐτοῦ κατηυνάσθη χειμών, καὶ τῇ οἰκουμενικῇ Ἐκκλησίᾳ, τῇ μεγάλως καὶ μέχρι παντελοῦς σχεδὸν ἐξωλείας διακινδυνευσάσῃ, λαμπρὰ πάλιν ἀνέτειλεν αἰθρία, καὶ ὁ παναγιώτατος, λογιώτατος καὶ θεοπρόβλητος κύριος Καλλίνικος, ὁ γνήσιος ἡμῶν πατὴρ καὶ πατριάρχης, ὁ διὰ παραιτήσεως τοῦ πρώην πατριαρχεύσαντος κὺρ Ἰακώβου, καὶ κοινῆς τῶν παρευρεθέντων πανιερωτάτων ἀρχιερέων, τιμιωτάτων κληρικῶν καὶ ἐντιμοτάτων ἀρχόντων προςκλήσεως, ἔτι δὲ καὶ συναινέσεως τοῦ τότε παρατυχόντος ἐν τῇ βασιλευούσῃ μακαριωτάτου καὶ σοφωτάτου πατριάρχου Ἱεροσολύμων κυρίου Δοσιθέου, εἰς τὸν οἰκουμενικὸν θρόνον προβιβασθείς, καὶ δι' ἐτῶν ἓξ κυβερνήσας ἀξιεπαινετώτατα καὶ θεαρεστότατα τὴν μεγάλην Ἐκκλησίαν, τοὺς οἴακας πάλιν ἀνέλαβε καὶ τῆς πρὶν γαλήνης ἀνελπίσως αὖθις ἀπολαύομεν, χάριτας ὁμολογοῦμεν τῷ κρείττονι, οὗ εὐλογημένον εἴη τὸ πανάγιον ὄνομα, τοῦ παιδεύοντος καὶ πάλιν ἰωμένου.

Ἀλλ' ἵνα μὴ τοῖς αὐτοῖς δεινοῖς αὖθις περιπέσωμεν καὶ ἐν χρῷ κινδύνου γενώμεθα, ὅπερ μὴ γένοιτο, ἔδοξεν ἡμῖν θεσμόν τινα τοῦτον ἐκ παντὸς ἀπαράτρεπτον καὶ ἀδιάδραστον ἐξενεγκεῖν, ὅπως, ἡμῶν κατὰ τὰς ἰδίας ἐπαρχίας τὰς τριβὰς ποιουμένων, ὦσιν οἵτινες ἐκ τῆς ἡμετέρας ὁμηγύρεως, διὰ βίου παντὸς ἐμπρέψαντες φρονήσει τε καὶ πείρᾳ πραγμάτων, καὶ λόγου δυνάμει προὔχοντες, παρεδρεύουσι τῇ βασιλευούσῃ, καὶ τοῦ κοινοῦ καὶ πάντων ἡμῶν, ἀπόντων τε καὶ παρόντων, πρόνοιαν ποιούμενοι, δύναιντο τοῖς ἔξωθεν ἐπιβαίνειν ἐθέλουσιν ἀντίσχειν καὶ ἀπαντᾶν οἱῳδήποτε τρόπῳ καὶ μέσῳ σύμφορον αὐτοῖς φανείη καὶ ἐπάναγκες.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ... ΔΙΕΥΘΥΝΤΗΣ ... ΚΩΝΣΤΑΝΤΙΝΟΣ ...
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Καὶ τόγε νῦν ἔχον εἰς καθολικοὺς καὶ αὐτεξουσίους ἐπιτρόπους, ὑπὸ τῇ διοικήσει γε μὴν τοῦ παναγιωτάτου καὶ λογιωτάτου πατρὸς ἡμῶν καὶ πατριάρχου, καθιστῶμεν τὸν καὶ τὸν καὶ τόν, καὶ ἄδειαν αὐτοῖς καὶ ἐξουσίαν ἀπονέμομεν, ὅπως ἐπειδηποτοῦν εἴτε τῶν ἤδη πατριαρχευσάντων, εἴτε τῶν ἔτι τελούντων εἰς τὴν ὁμήγυριν ἐθελήσειέ τις αὖ πάλιν διὰ παρανόμου ἐπιβάσεως συνταράξαι τὸ κοινὸν καὶ ἐπιπηδῆσαι τῷ οἰκουμενικῷ θρόνῳ, ἀμελλητὶ διά τε γραμμάτων συναγείρωσιν ἡμῶν οὓς ἂν αὐτοῖς δόξῃ πρόσφορον, διά τε δαπανημάτων ἀποσοβήσωσι τὸν ἐπιβαίνειν ἐθέλοντα.

Ἔτι δὲ ἐπικαλεσάμενοι τὸ πανάγιον πνεῦμα γνώμῃ κοινῇ καὶ συμπνοίᾳ ἀποφαινόμεθα τὸν εἰς τὸ ἑξῆς εἴτε ἐνθυμούμενον, εἴτε μηχανᾶσθαί τι τοιοῦτον φωραθέντα, ὥςτε ζημίαις πάλιν καὶ περιπτώσεσιν ἡμᾶς καταστρέψαι καὶ καταπατῆσαι, κἄν τε πατριάρχην, κἄν τε ἐκ τῆς ὁμηγύρεως ἡμῶν, ὑποβεβλῆσθαι πάσῃ ἐκκλησιαστικῇ παιδείᾳ καὶ δίκῃ, καὶ ἀπεστερῆσθαι πάσης ἐκκλησιαστικῆς τιμῆς καὶ παντὸς σιτηρεσίου, ἀποκόπτεσθαι δὲ καὶ ἀνείργεσθαι τῆς ἧς ἔλαχεν ἐπισκοπῆς καὶ ἐπαρχίας· πρὸς δὲ καὶ ἐξελαθῆναι πάσης χριστιανικῆς κοινωνίας, ὡς μὴ ἄξιον ἀπολαύειν ὧν αὐτὸς καταφρονοίη. Ὅθεν εἰς ἀπροφάσιστον δήλωσιν τῆς ἡμετέρας ταύτης συνοδικῆς ἀποφάσεως ἐξεδόθη γνώμῃ καὶ ψήφῳ κοινῇ τὸ παρὸν γράμμα ἔτει σωτηρίῳ αχϙδ, ἱςαμένης β' ἰνδικτιῶνος, α' καλανδῶν μαΐου.

---

## 72. Τῷ Μητροπολίτῃ Κυζίκου Κ. Κυρίλλῳ χαίρειν.

Ζηλωτής εἰμι καὶ πέρα τοῦ μετρίου διάπυρος. Οὔτε τὸ θεῖον περιορᾶν ὑβριζόμενον, οὔτε τὴν ἁγίαν Ἐκκλησίαν δυναίμην παρορᾶν πεπατημένην, τὴν τροφόν, τὴν διδάσκαλον, τὴν εὐεργέτιδα, τὴν καὶ φῦσαν [1])

[1]) «τὴν καὶ φύντας»

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ... ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ... ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΡΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

καὶ θανόντας ἐνστερνισαμένην, καὶ μεταροῦσαν ἀπὸ τῆς χείρονος ἐπὶ τὴν ἀμείνω· ἀλλὰ τοῖς ἀντιτάττουσι μάχομαι, τῇ παντευχίᾳ[1]) τῆς ἄνωθεν ἐπικουρίας καὶ βοηθείας ὡς ἔνι καθοπλιζόμενος, καὶ ὅση γε δύναμις ἀγωνιοῦμαι. Κέρδος γὰρ ἐπίκηρον ἅπαν οὐκ ἔστι τῆς καλῆς ἐλπίδος ἀντάλλαγμα. Ἀλλ' ὑμεῖς τοῖς κιβδηλίας οὐκ ἀνεχομένοις πολιτικῆς,[2]) ὥς φατε, εὐτεχνίας ἀμοιρίαν ἐγκαλεῖτε, καίτοι, ὥς γε καλῶς ἴστε, οὐδὲ ταύτης ἀπειράτοις κατά γε τὰ πολιτικά· ἐν δὲ τοῖς θείοις πῶς ἄν γε τις τῇ ἀληθείᾳ τὸ ψεῦδος εὖ φρονῶν εἰσρυῆναι ἀφήσοι, καὶ μὴ διαρραγείη ἢ τεφρωθείη, ὥσπερ οἱ παῖδες Ἀαρών, οἱ τοῖς ἱεροῖς πυρείοις τὸ χειρόηθες ἐνθέντες πῦρ; Καὶ ὑμεῖς μὲν ταῦτ' οἴεσθε καὶ ταῦτ' ἐπιτηδεύεσθε, καὶ ταῦτα πράττειν ἡμᾶς ἐθέλετε, εἰς τὴν λαμπρότητα τῶν ἀνομημάτων τὰ ὄμματα μεμυκότες, καὶ τὸ στόμα συγκεκλεικότες, καὶ μηδὲ φωνὴν ἐπαιρόμενοι, ἀλλὰ καὶ συμβολαίοις ἀδικημάτων ἔστιν οἷς ὑπογράφεσθε, τὴν σεμνοτάτην ἐπαγγελίαν οὐκ αἰσχυνόμενοι, οἱ Πνεύματος ἁγίου λέγεσθε σκεύη καὶ τῆς ἀληθείας ὀπαδοί.

Ἀλλ' οὔτοι γε καθέλκεσθαί με ἐάσω παρὰ χορδὴν ᾄδοντα, οὐδ' ἢν δεήσῃ ὑπερωρίσθαι, οὐδ' ἢν δεήσῃ ἀποθανεῖν· ἀλλ' εἰς μέσον ἀεὶ φανερὸν ἐμαυτὸν καταστήσομαι, μήτε καταινοῦντα, μήτε συμπράττοντα ἐν οἷς ἂν ὑμᾶς τῆς εὐθὺ καὶ κατ' ἴχνος τῶν θεσπεσίων πατέρων φερούσης ἐκτετραμμένους ἐπαίσθωμαι. Οὐδὲ γὰρ στασιάζουσαν ἀποδέξομαι τῇ γλώσσῃ τὴν ψυχήν, οὐδὲ τῇ καρδίᾳ τοὺς λόγους ἀντιφθεγγομένους. Παίζεται γὰρ ἥκιστα Θεός, καὶ προσποιήσεσι κιβδηλεῦσαι καὶ παρανοθεῦσαι τὴν χριστιανικὴν ἁπλότητα ἥκιστα παραχωρεῖ ἡ θέμις ἡ ὀρθόδοξος.

Ἐπειδὴ δὲ τῇ ἐξ ὕψους εὐμενείᾳ ἐν οὐ πολλοῖς ὑπερανίσχειν ἔλαχεν ἡ ὑμετέρα πανιερότης, τὰ τοιαῦτα πείθου καὶ πεῖθε, ἧπερ ἔδωκεν αὐτῇ Θεὸς λόγου δεινότητι χρωμένῃ. Καὶ παύου τοίνυν ξὺν ἐπιτυχίᾳ τὰς ἐγχαράξεις, μήτοιγε τοὺς ἀντίσχοντας τῇ μιαρίᾳ καὶ τῇ βδελυρίᾳ μετασκευάζουσα (ὅπερ ἄλλοι τεχνάζονται), ἀλλὰ τοὺς ἐνειλη-

---

[1]) «τῇ πανευτυχίᾳ»

[2]) «πολιτικοῖς»· ἀλλὰ τὸ «πολιτικῆς» συναπτέον τῷ ουσιαστικῷ «εὐτεχνίας»

ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΦΙΛΟΣΟΦΙΚΗ ΣΧΟΛΗ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

μένους [1]) ἤδη τοῖς παρέλκουσιν ἀπὸ τῆς εὐθείας, ὡς εἴωθεν, ἀποσπῶσα πρὸς τὸ θειότερον. Ἐρρώσθω.

## 73. Νεοφύτῳ Φιλιππουπόλεως.

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΙΣΤΟΡΙΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Τοῖς σοῖς ἀχθεσθεὶς δανεισταῖς, ὅτι μετὰ πικρίας καὶ βαρύτητος πολλῆς ἀπαιτοῦσι τὰ ὀφειλόμενα, δανεῖσαί σοι χρήματα καὶ ἀπαλλάξαι τῆς ἐνοχλήσεως ἱκετεύεις ἐμέ. Ἀλλ' ἐπαισθανόμενος, ὅτι μετ' οὐ πολὺ ταὐτὰ ταῦτα πείσομαι (ἀληθὲς γὰρ τὸ λεγόμενον, ὅτι θᾶττον ὁ τόκος Ἡρακλείτῳ Περιναίῳ τρέχει), [2]) καὶ ἀδημονήσῃ μηδὲν μεῖον ἢ τοῖς νῦν ἀπαιτηταῖς ἐμοὶ δήπουθεν, καὶ ἀγανακτήσῃ ἀπαιτούμενος, ὁπόταν τῆς ἀπαιτήσεως ἥξῃ ἡ τεταγμένη προθεσμία (οὔτε γὰρ οἷς νῦν ὀργίζῃ παρὰ μηδὲν ἠδίκησαι, πλὴν τοῦτό γε, ὅτι τὴν ὀφειλὴν ἀπαιτοῦσι), πῶς ἂν σοι δανείσαιμι;

Οὐκ οἶσθα, ὦ φιλότης, ὅτι οὔτε ἄρουραι, οὔτε ἐπαύλεις ἡμῖν ἀποχρῶσαι, οὔτε νῆες ἐμπορευόμεναι τοῖς διάπλοις, οὔτ' ἐργαστήρια χειρώναξιν ἐνοικιζόμενα, ὑφ' ὧν ἂν τὸν βίον πορισαίμεθα, ἀλλὰ φαύλης τινὸς καὶ ἀγεννοῦς ἐπικρατούσης συνηθείας ἀπὸ βραχέων συμφωνουμένων, καὶ συμβολαίοις πιστουμένων τόκων ἀποζῶμεν; Ὅσα γὰρ ἀπὸ βασιλικῶν

---

[1]) Κακῶς κεῖται ἐν Ἐπισ. καὶ Χειρ. ἐνειλημμένους. Ὁ ἐνεστὼς τοῦ ῥήματος εἶναι προφανῶς «ἐνειλέω». Πολλαχοῦ μὲν τῶν μὴ ἰδιοχείρων ἐπιστολῶν κεῖται «ψυχὴν κακοῖς ἐνειλουμένην καὶ περιστοιχιζομένην». Καὶ ὁ Συνέσιος δὲ (Ἐπισ. 105) ἔγραψεν «ἐνειλούμενον τοῖς πρὸς τὰ γεώδη μεθέλκουσιν». Ἴδ. Ἐπισ. 35, σημ. 4 καὶ Ἐπιστ. 62 σημ. 1.

[2]) Ἐν Ἐπισ. καὶ Χειρ. εἶναι ἀκατανόητον τὸ κείμενον «θᾶττον ὁ τόκος Ἡρακλεῖ τῷ περινέῳ τρέχει». Ἡ διόρθωσις ἐγένετο ἀποκατασταθείσης τῆς γνωστῆς παροιμίας «θᾶττον τόκος τρέχει Περιναίου Ἡρακλείτου» ἥτις καὶ ἄλλως ἐκφέρεται «θᾶττον ὁ τόκος Ἡρακλείτῳ Περιναίῳ τρέχει». Ἐν ταῖς παροιμίαις Ζηνοβίου σεσημείωται «Ἡράκλειτος δρομεὺς ἐγένετο, θαυμασθεὶς ἐπὶ τάχει. Εἴρηται ἡ παροιμία ἐπὶ τῶν δανειζομένων, ὡς τοῦ τόκου θᾶττον τρέχοντος ἢ Ἡράκλειτος ὁ δρομεύς. Ἐξήλλακται μέντοι δωρικῶς, Ἡρακλείτῳ Περιναίῳ, ἀντὶ Περιναίου».

Ε.Υ.Δ της Κ.Ν.Π ΙΩΑΝΝΙΝΑ 2006

σιτηρεσίων καὶ χορηγείων [1]) καρπούμεθα οὐκ ἀποπληροῖ τὰς ἐν τῇ μακρᾷ καὶ πολυχρονίῳ ταύτῃ στρατείᾳ χρείας καὶ δαπάνας, ἀλλ' οὔτε τὰς ἡμισείας. Ἐὰν οὖν οἱ ὀφειλέται χρεωκοπούμενοι οὐκ ἀποδώσωσι τὰ δάνεια, πιεζόμενοι ταῖς ἐπιούσαις ἀνάγκαις, ἔχουσί τε καὶ παρέχουσιν οἱ ὑπηρέται πράγματα ταῖς ἀμοιβαίαις ἀπαιτήσεσι [2])· τὴν γὰρ οἰκονομίαν αὐτοῖς ἐπιτρέψαντες τὸ λοιπὸν ἀφροντιστοῦμεν.

Ὑμεῖς δὲ τηνικαῦτα λυπεῖσθε καὶ διαγανακτεῖτε καὶ ἐποργίζεσθε ὡς ἀδικοῦσι τοῖς μηδὲν ἠδικηκόσι, καὶ ἀντὶ τῶν πρὶν εὐφημοτάτων καὶ εὐσημοτάτων ὀνομάτων ἐπ' αὐτοὺς ἡμᾶς ἀντλεῖτε τὰ χαλεπώτατα, καὶ πολλάκις ὕβρεσιν ἀποπλύνετε οὓς εὐεργέτας ἔναγχος ἀπεκαλεῖτε καὶ βοηθούς, ἢν βραχύ τι θλίψωσιν ἐγκείμενοι. Ἀρχιερεῖς δὲ ὄντας [3]) τίς ὑμᾶς ἀδημονοῦντας ἀνέξεται; καὶ δυοῖν ἕψεται θάτερον, ἢ τῶν ἀνηκόντων ἀποστέρεσθαι, ἢ τῶν μὴ προσηκόντων ἐπαΐειν. Καὶ πολλάκις συνέβη διὰ ταῦτα, φίλων μέν, μὴ δανείσαντας, ἀποβολὴν πεπονθέναι, δεδανεικότας δέ, καὶ φίλους καὶ χρήματα ζημιωθῆναι. Καὶ κεῖται ἡμῖν ἐν τοῖς ἀποθέτοις πλῆθος συμβολαίων, ἅπερ οἱ γράψαντες αὐτῆς τῆς φιλοπροσηγορίας [4]) ὕστερον ἡμᾶς ἐστερήσαντο, ἀναίδην ὡς ἀγνώςους παραμείβοντες καὶ παριόντες, ἐπειδὰν ἀπαντήσωσι πορευομένοις.

Βέλτιον ἄρ' οὖν ἢ μὴ προσίεσθαι τὰς αἰτήσεις, ἢ δεχομένους δὲ καὶ μέλλοντας ἐλθεῖν εἰς ἀπαιτήσεις, μὴ τοῖς ἀδημονοῦσιν ἐπ' αὐταῖς, μηδὲ τοῖς δυναμένοις λυπεῖν ἀναβολαῖς καὶ μελλήσεσι καὶ ὑπερθεσμίαις, ἔσθ' ὅτε δὲ καὶ ἀρνήσεσι, τὰ πολλὰ δὲ καὶ ἀρὰς κατατιθεμένοις ἀντὶ χρημάτων, καὶ τοῖς συκοφαντίας διακλώθουσι, δανείζειν, ἀλλὰ τοῖς ὑποδεεστέροις καὶ τοῖς ἰδιώταις, καὶ οἱ λαμβάνοντες ἀπ' αὐτῶν ἐμπορεύοιντο, καὶ κερδαίνοντες ἂν καὶ ὠφελούμενοι, μετ' εὐγνωμοσύνης ἀποδοῖεν τὰ χρεωστούμενα. Οὐ μέμνησαι ὅτι πολλοί τινες ἀπολώλασι, τοῖς δυνατω-

---

[1]) Ἐπισ. «χορηγιῶν», Ἐκαλοῦντο δὲ «χορηγεῖα» χρήματα καὶ ἄλλοι πόροι ἀποτεταμιευμένοι εἰς χρείαν πολέμου· ἐφ' ᾧ ἡ λέξις χορηγεῖον συνεκφέρεται «ταῖς δυνάμεσι» καὶ ταῖς «παρασκευαῖς» (Ἰδ. Λεξ. Πολυδ.)

[2]) «ἀπαντήσεσιν».

[3]) «ὄντες»

[4]) «προσηγορίας τῶν φίλων»

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τέροις δανείσαντες, ἤτοι γεγόνασιν αὐτῶν ἀνδράποδα ἐφ' ὅρου ζωῆς, ἰδίων καὶ παμπόλλων πεπραμένοι χρημάτων, καὶ μηδὲν ἄχρι τέλους ἀπώναντο, πλὴν συμβολαίων καὶ ματαίου κρότου; Παρ' ὑμῶν δὲ ἐπικρέμαται οὐ σώματός γε, ἀλλὰ ψυχῆς ἀπώλεια, ὁπόταν ὀργίζησθε καὶ ὁπόταν ἐπαρᾶσθε, τοῖς θείοις ἅτε μεμυημένων.

Ἡστινοσοῦν ἄρα βοηθείας ἄλλης ἐπιδεόμενος, οὐ διαμαρτήσῃ· οὐ γὰρ ἐπισφαλὴς ἡ ἐμὴ φιλία· χρημάτων δὲ συναλλαγὴν εὐλαβοῦμαι, τὴν σὴν διαφυλάττων ἀγάπην ἀκραιφνῆ καὶ ἀκέραιον. Ἔρρωσο.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## 74. Τῷ Μητροπολίτῃ Ναυπάκτου καὶ Ἄρτης Κ. Μελετίῳ χαίρειν.

Βραδὺ μέν, οὐδὲν ἧττον ὅμως καὶ διὰ τὴν μέλλησιν ἡδὺ παρ' ἐμὲ τὸ ἱερὸν ἀφῖκται γράμμα τῆς ὑμετέρας πανιερότητος. Ἐν νῷ γὰρ ἀεὶ τὰ κατ' αὐτὴν ἐτιθέμην· καὶ ἦσάν γε αἵ μοι πολλάκις ἐπήεσαν [1]) χαλεπώτεραι φροντίδες εὖ μάλα ὀχληραὶ καὶ βαρύθυμοι, καὶ ἔπειρον δὲ τὴν ἐμὴν ψυχὴν διὰ μέσης, ὅσα καὶ τοὺς ἀνυποδήτοις ποσὶ βαδίζοντας κατὰ δρυμὸν ἄκανθαι. Γυμνὴ γάρ ἐστι καὶ ἀκάλυπτος καὶ περὶ τὸ ἐρώμενον [2]) εὖ μάλα περιδεὴς ἡ ἀγάπη. Ἆρά γε τὴν μακρὰν ἐκείνην πορείαν εὐρώστως ἐξεμέτρησε τὸ Μούσαις τε ἐμοί τε καὶ τοῖς γε σοφίας ἀμωσγέπως ἀντιποιουμένοις λίαν ἐπέραστον λειμώνιον; Ἆρά γε βίου καὶ ψυχῆς καὶ λόγου λαμπρότητι κεκοσμημένον δῆθεν ἱεράρχην πρεπούσῃ τιμῇ καὶ αἰδοῖ προςήκαντο οἱ τῇ ὑμετέρᾳ πεπιστευμένοι φροντίδι; Καί γε ταῦτα τὰ εἰς τὴν ἐμὴν ψυχὴν ὑπὲρ αὐτῆς ἐμβεβληκότα παθήματα λίαν ἡμῖν ἱκανὰ τεκμηριώσασθαι, οἵας ἂν ἡδονῆς ἐμφορηθείην, ὁπόσης τε ἐμπλησθείην θυμηδίας ἐντυχὼν τῷ γράμματι τῷ ὑμετέρῳ.

---

[1]) «ἀπήεσαν»

[2]) «ὁρώμενον»

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Ἐξ αὐτοῦ λοιπὸν καὶ ἡ ἐνδημία ἡ μετ' εὐρωστίας εἰς τὴν μητρόπολιν Ἄρταν, καὶ ἡ σὺν γέρασι καὶ λαμπροῖς ὑπαντήμασι τῶν πολιτῶν ὑποδοχὴ καὶ ἡ τῶν θυμήρων ἀπόλαυσις ἔγνωσται καὶ τῷ εὐοδώσαντι λοιπὸν χάριτες ὡμολόγηνται. Μὴ τοίνυν ὄκνει μηδ' ἐς τοὐπιὸν ἀδελφαῖς ἀγγελίαις ἐμὲ τέρπων. Ἀγαθῆς γὰρ ἀρχῆς καὶ τὰ μετὰ ταῦτα βελτίω, καὶ τὰ τέλη ἐλπίζεται κάλλιστα παρομαρτῆσαι. Μεγέθει γὰρ σμικρόταται μὲν αἱ ἀρχαί, δυνάμει δὲ μέγισται, τῶν δένδρων τοῖς σπέρμασι παραπλησίως. Καί τοι καὶ τῶν ἡγησαμένων λαμπρότερα τὰ ἐπιγιγνόμενα ἀπαντήσειν ὑπολαμβάνω.

Ἐκ δὲ δὴ τοῦ καταλόγου, ὃν ἐμοὶ πέπομφεν, εἰ μὴ ἐπίπαν ἀμήχανον, Λόγγου σοφιστοῦ [1]) πεμψάτω τὰς ἱστορίας, οὐ γάρ πω αὐταῖς ἐντετυχέναι μέμνημαι, καὶ Ἀχιλλέα τὸν Τάτιον.[2]) Οἶσθα τοῦτον ἄγαν ἐκπεφαυλίσθαι παρὰ Φωτίῳ τὸν τραυματίαν· ἀλλ' ἐμοὶ μὲν ἤδη πολλὴν ἐπέχεε τὴν χιόνα τὸ γῆρας, καὶ γοῦν τὰ ἀκόντια τοῦ ἀφροδισίου δορυφόρου ἥκιστα δέδοικα· εἰ ἄρ' ἐκεῖνός ἐστιν οὗτος ὁ Τάτιος, ὁ τὰ ἐρωτικὰ παρεληλακὼς Ἡλιόδωρον καὶ αὐτὸν ἔτι τὸν Ἰάμβλιχον [3]) ὑπερη-

[1]) Λόγγος ὁ σοφιστὴς συνέγραψε Ποιμενικῶν τῶν κατὰ Δάφνιν καὶ Χλόην Βιβλία Δ. Τὸ ἁπλοῦν τῆς εὑρέσεως τοῦ μύθου, τὸ φυσικὸν καὶ ἀφελὲς τῆς παραστάσεως, τὸ ἀκριβὲς καὶ εὐμαρὲς τοῦ τύπου, τὸ σαφὲς τῆς λέξεως, τὸ κυριολεκτικόν, τὸ Ἀττικόν, αἱ τετορνευμέναι καὶ γλαφυραὶ περίοδοι, ἰδίως δὲ ἡ λαμπρὰ ἀπεικόνισις τοῦ κατ' ἀγροὺς βίου καὶ ἡ ἁβρότης τοῦ αἰσθήματος ἀπέδειξαν τὰ ἐρωτικὰ πλάσματα τοῦ Λόγγου τὸ ἄριστον τῶν μυθιστορημάτων τῆς ἀρχαιότητος, ὅπερ ἐμιμήθησαν ὁ Γεσνέριος καὶ ἄλλοι ἐκ τῶν νεωτέρων. Αὐστηρότερον ἐκ τῆς ἠθικῆς ἀπόψεως ἐπέκρινε τὸν Λόγγον ὁ Κοραῆς ἐν τῇ εἰσαγωγῇ εἰς τὰ Αἰθιοπικὰ τοῦ Ἡλιοδώρου.

[2]) Ὁ Ἀλεξανδρεὺς τὸ γένος καὶ ἀνεπιτυχὴς τοῦ Ἡλιοδώρου μιμητὴς Ἀχιλλεὺς ὁ Τάτιος συνέγραψε τὰ κατὰ Κλειτοφῶντα καὶ Λευκίππην. Χαρακτῆρα μὲν λόγου ἔχει κομψότατον, ἀλλ' ἐνασμενίζει εἰς παρονομασίας, ἀντιθέσεις, εἰκόνας, ἀναμνήσεις, σοφιστικὰς φράσεις καὶ περιγραφὰς φύσεως ἢ τεχνημάτων, οὐδὲν κοινὸν ἐχούσας πρὸς τὸ ὑποκείμενον τοῦ λόγου. Τὸ πολὺ τῆς αἰσχρολογίας μαρτυρεῖ ἔλλειψιν ἁγνότητος φρονήματος καὶ κοσμιότητος ἤθους.

[3]) Ὁ Βαβυλώνιος τὸ γένος Ἰάμβλιχος συνέγραψε «Δραματικὸν ἔρωτας ὑποκρινόμενον» ἤτοι «Βαβυλωνιακά,» ἐν οἷς πρωταγωνιστοῦσιν ὁ Ροδάνης καὶ ἡ Σινωνίς. Τοῦ δράματος τούτου σώζεται ἡ παρὰ Φωτίῳ (Κῶδ. 94) σύνοψις. Τὰ Βαβυλωνιακὰ ἔγεμον αἰσχρολογιῶν, παραβόλων κινδυνευμάτων, μαγείας καὶ θεουργίας· εἶχον ὅμως ἀμύθητον χάριν καὶ ἀκρίβειαν φράσεως, ὀλίγον ἀπέχουσαν τῆς τῶν κανονικῶν συγγραφέων.

Ε.Υ.Δ της Κτ.ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

κοντικῶς· τὸν Ἡλιόδωρον [1]) γάρ, ἐπὶ Φωτίῳ δικαστῇ, κατόπιν ἀπολέλοιπε τῇ περὶ λόγων ἀσελγείᾳ Ἰάμβλιχος. Ἢν δὲ προςθῇ καὶ τὴν Ἀρκουδίου θεολογίαν, οὐδὲ ταύτην γὰρ ἑλληνιςὶ φθεγγομένην ἀνέγνωκα, χαριεῖταί μοι τὰ μέγιστα.

Ἐπεὶ δὲ πάλιν ἐν πόνοις εἰμί, καὶ πάλιν ἐν κινδύνοις γέγονα, καὶ τὸν ὑπὸ σκηναῖς δυσμενέστατον καὶ ὡς ἔπος εἰπεῖν ἀνήκεστον βίον ποιοῦμαι, ἱερῶν εὐχῶν ἐπιδέομαι καὶ τῶν γε ὑμετέρων ὅτι μάλιστα. Θεοπειθεῖς γὰρ αἱ ἀπὸ φιλίων χειλῶν πρὸς Θεὸν ἐξαντλούμεναι ἱκετεῖαι καὶ δεήσεις. Ἔρρωσο.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## 75. Τῷ Ἀρχιεπισκόπῳ Σιναίου Κ. Ἰωαννικίῳ.

Ἐπαινῶ τὴν ὑπὲρ εἰρήνης αὐτῆς διάπυρον ζέσιν· ἐπαινῶ δὲ καὶ τὴν καρτερίαν καὶ τοὺς μόχθους τοὺς ὑπὲρ αὐτῆς. Στέργω τὴν πρὸς ἐμὲ καλὴν διάθεσιν καὶ κλίσιν, καὶ ὅτι ὡς καταφυγή τις παρ' αὐτῆς νομίζομαι καὶ καλοῦμαι, καὶ ἀντὶ τῶν εὐχῶν χάριτας ὁμολογῶ, ὧν οὐδέποτ' ἂν ἀποτύχοιμι διὰ τῆς ὑμετέρας μακροβιότητος. Προςαγορεύουσι δὲ αὐτὴν καὶ οἱ περὶ ἐμέ, καὶ ὑπὲρ αὐτῆς ὅπως ὑγιαίνοι καὶ εὐτυχοίη τὰς ἀνηκούσας καὶ δυνατὰς ἱκετείας προςφέρομεν.

Ὡμίλησα τοῖς ἐνταῦθα πρεσβυτέροις αὐτῆς καὶ δὴ καὶ τῷ κομιςῇ τῶν ἱερῶν γραμμάτων, οἵ τινες οὐκ ὀκνήσουσι παραδηλῶσαι περὶ ὧν αὐτοῖς εὐνοϊκῶς διελέχθημεν. Ἀλλ' ἐπειδὴ μηδὲν ἐκαρπωσάμεθα ἐνδόσιμον, μηδὲ ξυμβατικόν, ἱκανὸν εἰς καταλλαγὰς μεταρρυθμίσαι τὴν ἔριν, καὶ λῦσαι τὸ νεῖκος καὶ τὸ ἄχθος τῆς διαιτήσεως οὐκ ἐπὶ τῇ ἐμῇ γε δυνάμει, οὐκ ἐφάνη μοι καίριον, μὴ καλῶς εἰδότι τὴν γνώμην αὐτῆς, ἀπὸ κοινοῦ τινος εἰρηναίου λογίου κινῆσαι τὴν αἴτησιν πρὸς τὸν μακα-

[1]) Ὁ ἐξ Ἐμίσης τῆς Φοινίκης Ἡλιόδωρος συνέγραψεν Αἰθιοπικῶν Βιβλία Δέκα ἤτοι τὰ κατὰ Θεαγένην καὶ Χαρίκλειαν.

Ε.Υ.Δ της Τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ριώτατον Πατριάρχην Ἱεροσολύμων. Ὁπόταν δὲ διασαφήσῃ ἡ ὑμετέρα θεοφιλία τὰ κατὰ τὴν ἀγαθὴν αὐτῆς περὶ εἰρήνης γνώμην, προβάλῃ δὲ καὶ εἴ τι πραΰναι καὶ κατευνάσαι τὴν ὑπάρχουσαν ταραχὴν ἐπίφορον καὶ ἁρμόδιον ἐπέρχοιτο αὐτῇ, ἕξει κἀμὲ συμπονήσοντα κατὰ δύναμιν. Καὶ πάλιν τῶν ἱερῶν αὐτῆς εὐχῶν καὶ γραμμάτων ἀπολαύοιμι. Ἐρρώσθω ἐπὶ μήκιστον.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## 76. Ἀνωνύμῳ.

Βαρὺν ἀράμενος πόλεμον κατὰ τῶν ἐχθρῶν τῆς ἀληθείας καὶ τῶν πολεμίων τῆς Ἐκκλησίας, τῶν ὑπὲρ τοὺς Φιλισταίους ἠγριωμένων, μέγαν ὑπεστήσω κίνδυνον, καὶ Γεδεῶνι ταὐτὰ παθεῖν παρ᾽ ὀλίγον ἐλήλυθας καὶ συναπολέσθαι τοῖς καταστρεφομένοις. Ἀλλὰ κἂν τούτῳ σου τὴν ἀνδρείαν οὐχ ἧττον, ἢ τὴν τύχην στεφανοῦμεν, ἅτε δὴ καὶ καταπολεμήσαντος καὶ δαιμονίως ἐπιζήσαντος. Ἔρρωσο.

## 77. Τῷ Μητροπολίτῃ Καισαρείας τῆς Παλαιςίνης Κ. Χρυσάνθῳ. [1]

Τὴν σὴν κατὰ τὴν Εὐρώπην καὶ τὰς ἐκεῖ χώρας καὶ πόλεις περιήγησιν μηδὲν πλέον τεθαύμακα, ἢ τὴν ἐκεῖθεν ἐπάνοδον μετὰ πολλῆς μὲν προκοπῆς καὶ ἐπιδόσεως, δίχα δέ τινος παρανοθεύσεως καὶ παραχαράξεως οὔτε τοῦ τρόπου οὔτε τοῦ φρονήματος. Τοῖς γὰρ τὴν τοιαύτην ἀποδημίαν καὶ περινόστησιν ἑλομένοις μέγα τι πρόςεισι κέρδος, ὅσον γέ ἐστι τὸ πολλῶν ἄστεα καὶ νόον γνῶναι· καὶ τοῦτο τὸ μέρος

---

[1] Ἀνέκδοτος.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τῆς εἰδήσεως, ὥς γε κατ' ἐμέ, μηδὲν ἀπολείπεται τῶν ἄλλων ἐπιςημῶν, ὅσαι τὴν τοῦ παντὸς θεωρίαν ἐκπληροῦσιν. Πολλὴ δέ τις ἔσθ' ὅτε ζημία γίνεται τῶν πατρῴων ἠθῶν, ἃ καὶ μάλιστα φαιδρύνει τὸ ἡμέτερον γένος· ὃ καὶ πολλάκις ἐθρήνησα καὶ κατεπένθησα, ὡς οἱ παρ' ἡμῶν εἰς ἀλλοδαπὰς ἀπιόντες οὐ μόνον πολλὴν ἐκεῖθεν ἐξήντλησαν τῶν τρόπων μιαρίαν καὶ κιβδηλίαν, ἀλλὰ καὶ τὸν νοῦν αὐτὸν ἐκφύλοις τισὶ δόγμασιν αὐτοί τε κατεμόλυναν, καὶ μυρίους ἄλλους, τούς γε εὐηθεστέρους καὶ ἀφελεστέρους, εἰς τὴν αὐτὴν βδελυρίαν ἀπέσυραν. Καὶ εἴθε γε κατὰ τὴν ἔκπλοιαν ναυαγήσειαν, οὐκ ἂν τὸ δεινὸν ἐν ξηρᾷ τοῦτο καὶ ἠθῶν καὶ ψυχῆς ναυάγιον ὑπέστησαν.

Η δὲ σὴ λογιότης, δόξα τῷ κρείττονι, τῷ διὰ τοσούτων πόνων καὶ κινδύνων αὐτὴν διατηρήσαντι, μετὰ πολλῆς ἐκεῖθεν ὠφελείας απονοστήσασα, διάνοιαν καὶ ψυχὴν ἐτήρησε πλουτήσασαν μέν, ἀλλὰ δίχα πάσης κιβδηλίας· καὶ ὡς ἀληθῶς οἷα φιλόπονος μέλισσα καὶ ἀπ' αὐτῶν τῶν πικροτάτων ἀνθέων ἁγνὸν ἀπομαξαμένη τὸ τῶν ἐπιστημῶν ὑπὲρ αὐτὸ τὸ ὑμήττειον ἡδύτατον μέλι, τούτου ἅπαντας ἡμᾶς ἐμφορεῖ. Καὶ ὠνάμεθα μὲν ἅπαντες τῶν αὐτῆς λόγων, λύμην δὲ οὐδεμίαν οὔτε προςελάβομεν, οὔτε δεδοίκαμεν.

Εὖγε τῆς οὕτω λαμπρᾶς φυλακῆς, εὖγε τῆς μεγαλονοίας, εὖγε τῶν κειμηλίων, ὧν ἡμῖν ἡ μετουσία εἰλικρινής ἐστι καὶ καθαρά, καὶ τῷ ὄντι οἵαν καὶ ἐπιποθήσαιμεν. Κἀκεῖνο δὲ τὴν ἡμετέραν ἐπαύξει θυμηδίαν, ὅτι γε ἔσῃ κατὰ τὴν αὐτὴν ἐπίδοσιν πολλοῖς ὑπόδειγμα. Βιῴης ἄρα ἐπὶ μήκιστον, καὶ παῖδας Ἑλλήνων ἐκπαιδεύοις τὴν ἀκραιφνῆ ταύτην καὶ τῷ ὄντι προςήκουσαν τῇ καθ' ἡμᾶς Ἐκκλησίᾳ διδασκαλίαν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006